κατήγαγον τὸν Ιωσηφ εἰς Αἴγυπτον. 29ἀνέστρεψεν δὲ Ρουβην 29
ἐπὶ τὸν λάκκον καὶ οὐχ ὁρᾷ τὸν Ιωσηφ ἐν τῷ λάκκῳ καὶ
διέρρηξεν τὰ ἱμάτια αὐτοῦ. 30καὶ ἀνέστρεψεν πρὸς τοὺς ἀδελ- 30
φοὺς αὐτοῦ καὶ εἶπεν Τὸ παιδάριον οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ
πορεύομαι ἔτι;
31Λαβόντες δὲ τὸν χιτῶνα τοῦ Ιωσηφ ἔσφαξαν ἔριφον αἰγῶν 31
καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ αἵματι. 32καὶ ἀπέστειλαν τὸν χιτῶνα 32
τὸν ποικίλον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν καὶ εἶπαν Τοῦτον
εὕρομεν· ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν ἢ οὔ. 33καὶ ἐπέγνω 33
αὐτὸν καὶ εἶπεν Χιτὼν τοῦ υἱοῦ μού ἐστιν· θηρίον πονηρὸν κατέ-
φαγεν αὐτόν, θηρίον ἥρπασεν τὸν Ιωσηφ. 34διέρρηξεν δὲ Ιακωβ 34
τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ
ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς. 35συνήχθησαν δὲ πάντες 35
οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες καὶ ἦλθον παρακαλέσαι αὐτόν, καὶ
οὐκ ἤθελεν παρακαλεῖσθαι λέγων ὅτι Καταβήσομαι πρὸς τὸν υἱόν
μου πενθῶν εἰς ᾅδου. καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. —
36οἱ δὲ Μαδιηναῖοι ἀπέδοντο τὸν Ιωσηφ εἰς Αἴγυπτον τῷ Πετεφρη 36
τῷ σπάδοντι Φαραω, ἀρχιμαγείρῳ.
1Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ κατέβη Ιουδας ἀπὸ τῶν ἀδελ- 38
φῶν αὐτοῦ καὶ ἀφίκετο ἕως πρὸς ἄνθρωπόν τινα Οδολλαμίτην, ᾧ
ὄνομα Ιρας. 2καὶ εἶδεν ἐκεῖ Ιουδας θυγατέρα ἀνθρώπου Χανα- 2
ναίου, ᾗ ὄνομα Σαυα, καὶ ἔλαβεν αὐτὴν καὶ εἰσῆλθεν πρὸς αὐτήν.
3καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ηρ. 3
4καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ 4
Αυναν. 5καὶ προσθεῖσα ἔτι ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα 5
αὐτοῦ Σηλωμ. αὐτὴ δὲ ἦν ἐν Χασβι, ἡνίκα ἔτεκεν αὐτούς. 6καὶ 6
ἔλαβεν Ιουδας γυναῖκα Ηρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θαμαρ.
7ἐγένετο δὲ Ηρ πρωτότοκος Ιουδα πονηρὸς ἐναντίον κυρίου, καὶ 7
ἀπέκτεινεν αὐτὸν ὁ θεός. 8εἶπεν δὲ Ιουδας τῷ Αυναν Εἴσελθε 8
πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου καὶ γάμβρευσαι αὐτὴν καὶ
ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου. 9γνοὺς δὲ Αυναν ὅτι οὐκ 9
αὐτῷ ἔσται τὸ σπέρμα, ἐγίνετο ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα
τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ τὴν γῆν τοῦ μὴ δοῦναι σπέρμα
τῷ ἀδελφῷ αὐτοῦ. 10πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ θεοῦ ὅτι 10
ἐποίησεν τοῦτο, καὶ ἐθανάτωσεν καὶ τοῦτον. 11εἶπεν δὲ Ιουδας 11
Θαμαρ τῇ νύμφῃ αὐτοῦ Κάθου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός
σου, ἕως μέγας γένηται Σηλωμ ὁ υἱός μου· εἶπεν γάρ Μήποτε
ἀποθάνῃ καὶ οὗτος ὥσπερ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θαμαρ
ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς.

31 τω > A† || 34 πολλας] τινας A† || 36 πετρεφη A†: -τρεφ- pro -τεφρ- A etiam in 41 45†. 50 46 20†, sed in 39 1 A recte -τεφρ-
38 10 εφανη mu.] + το ρημα A